# Τῌ Γ΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ

† Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου.

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

### Ψαλμὸς ργ΄ (103)

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνάμεσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾿ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾌσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ

εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονής Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ

Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος Νη




## ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

## Εἰ δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια
## Ἦχος Β΄ Ὅτε ἐκ τοῦ ξύλου.

Ἦχος Δι

Κυ υ υ ρι ε ε κεκραα
ξα προοος σε ει σα α ακουσο ο ο ο ον
μου ει ει σακουουουουουσονμου Κυ υ υ ρι
ι ι ι ε Κυ υ ρι ι ι ε ε κε ε
κραα ξαα α προοος σε ει σα α α ακου
ουσο ο ονμου προο οσχεςτη φω νη η
η ητη ης δε η σε ω ω ω ωςμου εν τω
κε κρα γε ναιαι με ε ε προοος σε ει σα
κου σοονμου Κυ υ υ υ υ υ υ υ υ ρι

ε

Κα τευ θυν θη η η τω ω η η προ σευ
χη η η η η η η μου ως θυ μι ι α α α
α μα α ε ε ε νω ω ω πι ι ο ο ον σου
ε ε ε πα αρ σι ις των χει ρω ω ω ων
μου θυ σι ι α ε ε σπε ρι ι νη ει σα
κου σο ον μου Κυ υ υ υ υ υ υ υ υ ρι

ε

Ε αν α νο μι ας πα ρα τη ρη
σης Κυ ρι ε Κυ ρι ε τις υ πο στη σε ται
ο τι πα ρα σοι ο ι λα σμος ε στιν

Δεῦτε Ἀθηναίων οἰκισταὶ καὶ τῶν Δικαστῶν αἳ χορείαι ἀνευφημήσωμεν νῦν Θεῖον Διονύσιον ἱερομάρτυρα, ὅτι πρῶτος συνέλαβε τὸ κήρυγμα Παύλου πίστιν τ´ ἀπεδέξατο τῆς Ἀναστάσεως, Πρῶτος δὲ γεγονῶς ἀρχιθύτης ἐν τὴ Ἀθηνῶν Πολιτεία πρῶτος καὶ μαρτύριον ἐδέξατο.




Ὅτε παραγένου σαρκικῶς ἐν τὴ Φαραὼ πολιτεία γνῶσιν αὐξῆσαι ποθῶν, ἥλιος ἐσκότισται καὶ γῆ ἐρρίγησε, ἅμα νοῦς καὶ καρδία σου δεινῶς ἐδονήθη καὶ τὴν σὴν διάνοιαν τὸ φῶς κατηύγασε. τότε γοερῶς ἀνεβόας· Ἢ Θεὸς ἀΐδιος πάσχει ἢ τὸ πᾶν ἐν γῆ σαφῶς ἀπολυται.



κτος α πο φυ λα κης πρω ι ας ελ πι

σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι ον

Ὅτε διηκόνεις νουνεχῶς ἐν Ἀρείῳ Πάγῳ Δικαίῳ ἐν ταῖς Ἀθήναις, σοφέ, Παῦλος ὁ Ἀπόστολος σαφῶς ἐκήρυξε τοῦ Χριστοῦ τὴν Ἀνάστασιν καὶ τὴν παρουσίαν, ἐν ᾗ μέλλει κρίνεσθαι ἡ οἰκουμένη ποτέ. Τότε ἐκολλήθης τῷ Παύλῳ, ὅτι σὴ καρδία ἐφλέγη γνώσεσθαι αὐτίκα τὴν ἀλήθειαν.

Ἕτερα. Ἦχος δ'.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Ο τι πα ρα τω Κυ ρι ω το ε

λε ος και πολ λη παρ αυ τω λυ υ τρω σις

και αυ τος λυ τρω σε ται τον Ι σρα ηλ

εκ πα σων των α νο μι ων αυ του

Ὡς ὁ Παῦλος κατέλιπεν Ἀθηνῶν πόλιν ἔνδοξον, σὴν φροντίδα ἀνείληφεν Ἱερόθεος καὶ

τὴν σὴν γνῶσιν κατηύθυνε πρὸς ὃν ἡ καρδία σου ἐξ ὀνύχων ἁπαλῶν φλογερῶς ἐπεφέρετο, Θεὸν ἄγνωστον. Καὶ γνωρίσας αὐτὸν τὴ ἀληθεῖα διεποίμανας ἀξίως τὸ σὸν θεοσδοτον ποίμνιον.




Τὴν σὴν πόλιν ἐποίμανας συνετῶς, Διονύσιε, καὶ ναοὺς καὶ εἴδωλα ἐξηρήμωσας· τὰς δὲ ψυχᾶς τοῦ ποιμνίου σου ἀρδεύων σοῖς ρήμασι καὶ αὐγάζων δαψιλῶς εἰς ναοὺς σὺ μετήλλαξας τοῦ Παντάνακτος. Πλήν, προσκρούσας τοῖς λάτραις τῶν εἰδώλων τὴ καμίνω παρεδόθης εὐαρεστῶν τῷ Κυρίῳ σου.






Ἀποστόλων οἱ πρόκριτοι ἐν νεφέλαις ἡρπάγησαν θεαρχίῳ νεύματι Παντοκράτορος τοῦ παραστῆναι ἐν σώματι εἰς Κοίμησιν ἄφθορον Πλατυτέρας οὐρανῶν τῆς τεκούσης τὸν Ἄπειρον καὶ Ἀχώρητον. Τότε οὖν σὺν αὐτοῖς κατηριθμήθης καὶ νεφέλῃ μετηνέχθης ἐξοδιᾶσαι τὴν Ἄσπιλον.

## Δόξα. Ἦχος πλ. β΄.

Ἦχος Πα.




πο ο λε ε ε ω ως τα α αυ της ποι με να
αρ χης και αι πα α α τηρ βι ω ω σα
ας δε ε ε ε ε ε να α ρε ε ε τως
και ζη λω των προς κα θαι αι ρε ε ε σιν
των ει δω ω ω λων α α να α α λω θεις
τω πυ ρι πα α ρε ε ε δο ο ο θη και
τοις μα αρ τυ υ σι ι ι ι κα τη η η ριθ
μη η η η η θη ο θεν αυ τον κα τα χρε
ε ο ο ος τι ι ι μω ω ων τες α να φω
νου ου ου μεν κρα α ζο ο ον τες ως ε
χων παρ ρη σι αν προς Κυ υ υ υ υ ρι ι


ο ο ο ο ο ο ο ο ο ο ο ο ο
ον μη παυ ση δε ο ο με ε ε νος
υ περ πα α α αν των η η η μων

Και αι νυ υ υ υν και α α ει και εις τους

αι αι ω ω ω ω νας των αι αι ω ω νων

α α α μην

Τις μη μα κα ρι σει σε Πα να γι ι

α α α Πα α αρ θε ε ε ε νε τις μη α

νυ υ μνη σει ει ει σου τον α λο ο ο

ο χε ευ το ον το ο ο ο ο κον ο γαρ

α χρο νως εκ Πα τρος εκ λα αμ ψας Υι

ο ος μο ο νο ο ο γε νης ο αυ τος εκ

σου ου της α γνη η η ης προ ο ο η η

η ηλ θεν α αφρα α στως σαρ κω ω ω θεις


φυ υ σει Θε ο ο ο ος υ πα α αρ χων
και φυ σει γε νο ο με ε ε ε νος α αν
θρω ω ω πος δι ι ι ι ι η η η η μας
ουκ εις δυ α α α δα προ ο σω ω ω πων
τε μνο ο ο ο ο με ε ε ε νος αλλ εν
δυ α α δι φυ υ υ σε ε ε ων α συγ χυ
τως γνω ω ω ρι ζο ο ο με ε ε ε νος
αυ τον ι ι κε ε τε τε ευ ε σε ε
μνη η η παμ μα κα α α α α α ρι παμ
μα κα α ρι ι στε ε ε λε η θη η η η
η η η ναι τα ας ψυ χα α α ας η


η η η μω ω ω ω ων

## 03-10- ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΔΙΟΝΥΣΙΟΥ

### Εἴσοδος, Φῶς ἱλαρόν

Ἦχος Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

Προκείμενον.
Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος πλ. α' Νη




**Στίχ. Οἱ** ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον.



Προκείμενον.
Τῇ Δευτέρᾳ ἑσπέρας.
Ἦχος δ'.

Ἦχος Δι

Κυ υ ρι ος ει σα κου σε ται μου
εν τω κε κρα γε ε ναι με προς αυ το
ον (Δίς)

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τὸ τρίτον. Κυ ρι ος ει σα κου σε ται αι μου
εν τω κε κρα γε ναι με προς αυ το ο
ον

Προκείμενον.

Τῇ Τρίτῃ ἑσπέρας.

Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μου (Δὶς)

Στίχ: Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω η ης μου ου ου

## Προκείμενον.
## Τῇ Τετάρτῃ ἑσπέρας.
### Ἦχος πλ. δ'

Ο Θε ος εν τω ο νο μα τι σου σω σον
με και εν τη δυ να μει σου κρι νει ει ει εις
με (Δίς)

Στίχ. Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα τι
σου σω σον με και εν τη δυ να μει σου κρι
νει ει εις με ε ε

Προκείμενον.
Τῇ Πέμπτῃ ἑσπέρας.

Ἦχος λ π Βου

Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γην (Δίς)

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γη η ην

## Προκείμενον.
## Τῇ Παρασκευῇ ἑσπέρας.

### Ἦχος Βαρύς

Ο Θε ος αν τι λη πτωρ μου ει το ε
λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.

Τὸ τρίτον. Ο Θε ος αν τι λη η πτωρ
μου ει ει το ε λε ο ος σου προ φθα σει με ε ε
ε

*Εἶτα τὰ Ἀναγνώσματα.*

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα
## (Κεφ. 43, 9, 14)

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τὶς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τὶς ἀκουστὰ ποιήσει; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μέτ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ᾽ ἀρχῆς ἐγὼ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
## (Κεφ. 3, 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ΄ ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τούς αἰῶνας, οἱ πεποιθότες ἐπ΄ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
## (Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει

θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε, μάθετε, δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἴπωμεν πάντες ἐξ ὅλης της ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν , καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε ἐλέησον (ἐκ τρίτου)

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε ἐλέησον (ἅπαξ)

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν , τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός

σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. `Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰς τὴν Λιτήν, Στιχηρά Ἰδιόμελα

Ἦχος Πα

Σεμνύνου καὶ χαῖρε, Ἀθηνῶν πολιτεία, ὅτι ἔκ σοὺ ἀνατέταλκε σεβάσμιος θύτης, ὁ θεῖος Διονύσιος. Εὑρῶν γὰρ τὴν πόλιν «κατείδωλον οὖσαν» ἔργον αὐτοῦ πεποίηκε ταύτην ἐκ τῶν εἰδώλων ἐπιστρέψαι καὶ τοὺς ἐν αὐτῇ βιούντας τῷ Χριστῷ κατηχῆσαι καὶ βαπτίσαι. Τοῦτο δὲ εὐτυχήσας κατιδεῖν τῷ τυράννῳ παρεδόθη καὶ τὸν διὰ πυρᾶς θάνατον ἠδέως ἐδέξατο. Τὴ χορεία δὲ τῶν ἱερομαρτύρων προστεθεῖς πρεσβεύει ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Κανὼν ἀρετῆς, γυμναστὴς εἰς εὐσέβειαν καὶ ἀληθής της πλάνης ὀλοθρευτὴς κατεστάθης, ὢ Διονύσιε. Εὐαρεστήσας δὲ τῷ Θεῷ καὶ ἑαυτὸν θυσίαν ἄμωμον προσενέγκας κατεστέφθη σου ἡ κεφαλὴ τῷ ἁμαραντίνῳ στεφάνω τῶν καλλινίκων Μαρτύρων. Διο, γεραίροντες τὴν

μνήμην σου καὶ τὸν σὲ δοξάσαντα εὐλογοῦντες, αἰτούμεθα παρ' αὐτοῦ διὰ σου ταῖς ψυχαῖς ἡμῶν ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Ἦχος γ'.

Ἄριστος οἰκονόμος Χριστοῦ κατασταθεῖς καὶ γνήσιος θεράπων τῶν ψυχῶν καθιερωθεῖς ὢ Διονύσιε, ἐκαλλιέργησας, ὃ ὁ Παῦλος ἐφύτευσεν ὁ Ἰερόθεος ἐπότισε καὶ ἡ χάρις τοῦ Θεοῦ ηὔξησε ταῖς ἀκτίσι τοῦ Παναγίου Πνεύματος. Ὅθεν, οἱ ἐν Ἀθήναις οἰκοῦντες καὶ διὰ σου φωτισθέντες, γεραίρομεν τὴν μνήμην σου, καὶ ἐκζητοῦμεν τὴν χάριν σου, ἣν ἔχοιεν εὐελπιστοῦμεν, διὰ τῶν σῶν ἱκεσιῶν, παρὰ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Ἦχος δ'.

Τῶν Ἀθηνῶν γόνος ἄριστος καὶ φιλοσόφων ἔκγονος ὑπάρχων, τὴ ἐπιστήμη τῆς φιλοσοφίας ἀνίχνευες ἄγνωστον Θεόν. Ὅμως τοῦτον ἐγνώρισας διδαχὴ τοῦ Παύλου. Καὶ ἐφωτίσθη ἡ σὴ διάνοια, καὶ ἐπορεύθης ἐν πραότητι καὶ δικαιοσύνη. Σφραγίσας δὲ τὸν βίον διὰ τοῦ μαρτυρίου, ἀνῆλθες εἰς οὐρανὸν ἐκεῖ ἔνθα τὸ πνεῦμα πνεῖ. Ἀπολαύων οὖν τὰ χαρίσματα τοῦ Πνεύματος, πρέσβευε ὑπὲρ ἡμῶν, ὅπως κατὰ

χάριν μεθέξωμεν τούτων ἐν τὴ ἐσχάτη ἡμέρα τῆς κρίσεως.

Δόξα. Ἦχος πλ. α'.

Ἐπικουρία τοῦ ζῶντος Θεοῦ Ἐπικουρείων ἡδονικᾶς δοξασίας ἀπέρριψας. Καὶ τὴ ἀληθῆ σοφία ἐλλαμφθεῖς τὰς Στωϊκῶν ἀντιφάσεις ἐκ τῆς ψυχῆς σου ἀπέβαλες. Καὶ γέγονας τῆς ὑπερθέου σοφίας καταγώγιον ἐν ἱερεῦσι καὶ μάρτυσι διακριθεῖς, ἱερομάρτυς Διονύσιε. Διο ἐπὶ τὴ μνήμη σου ἀγειρόμενοι ἀνυμνοῦμεν σέ, καὶ τὸν σὲ δοξάσαντα μεγαλύνομεν, αἰτούμενοι παρά σου τὴν πρὸς Θεὸν μεσιτείαν πρὸς σωτηρίαν τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Πλαγίου Τετάρτου.
Ἦχος Νη




Πα ρασχου Κυ ρι ε
Υ περ α γι α Θε ο το κε σωσον η μας
Σοι οι οι οι οι οι οι οι οι οι Κυ υ υ υ ρι ε
Α μην
Ἦχος Ἐναρμόνιος
Κυ ρι ε ε ε λε ε η σον
Κυ ρι ε ε λε η σον
Κυ υ ρι ε ε λε η η σον
Κυ ρι ε ε ε λε ε η η σον


Κυ ρι ε ε λε ε ε η σον
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ ρι ε

## Εἰς τὴν Ἀρτοκλασίαν

### Ἐπιλογές παρά διαφόρων Διδασκάλων




## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ΑΓΙΟΡΕΙΤΙΚΟ ΗΧΟΣ ΠΛ. Α΄



## Θεοτόκε Παρθένε

Ἦχος Κε




ων
Πλου σι οι ε πτω χευ σαν και ε πει
να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον
ουκ ε λατ τω ω θη σον ται παν το ος
α γα θου
Το τέλος τοῦ τρὶτου.
παν το ος α γα
θου ου ου ου ου ου ου

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄.
Χαίροις ἀσκητικῶν.

Πόλις τῶν Ἀθηνῶν ἡ κλεινὴ ἐπὶ τὴ μνήμη σου ἐπαίρεται, ὅσιε, καὶ χαίρει ἀβρυνομένη καὶ ἐγκαυχᾶται ἐν σοῖ, ὅτι σὲ κατέχει ἀντιλήπτορα. Ποιμάνας γὰρ ταύτην σὺ συναπτοῖς πλείστοις ἔτεσι, καὶ γαλουχήσας καὶ ἐκθρέψας ἐν Πνεύματι, ἐποδήγησας πρὸς Χριστὸν πλῆθος ἄμετρον. Πρέσβευε οὖν πρὸς Κύριον, εὐχαῖς καὶ δεήσεσι καὶ ἱκεσίαις ἀπαύστοις διαφυλάττειν τὴν πόλιν σου καὶ ταύτην οἰκοῦντας ἐκ παντοίων νοσημάτων καὶ περιστάσεων.

Στίχ.




Γόνος τῶν Ἀθηνῶν εὐκλεὴς καὶ φιλοσόφων ὀπαδὸς ἐγκρατέστατος ἀνῆλθες ὑπεραξίως ἀναβαθμοὺς δικαστῶν καὶ Ἀρείου Πάγου βῆμα κράτιστον. Καὶ Παύλου ἀκήκοας σθεναρὸν θεῖον κήρυγμα δημηγορίαν, Ἀθηναίους

ξενίζουσαν, ἐκδιδάσκουσαν ἀληθῆ Θεὸν ἄγνωστον. Τότε καὶ κατενύγη σου ψυχὴ καὶ διάνοια καὶ λογισμὸς καὶ καρδία καὶ ὠκειώθης τὸν Κτίστην σου, πρὸς ὃν ἐκολλήθης καὶ προσήχθης μαρτυρίῳ διὰ τὴν πίστιν σου.




**Π**αύλου τὴν διδαχὴν ἀσπασθεῖς καὶ τὴν αὐτοῦ δημηγορίαν δεξάμενος ἀπέρριψας εἰκασίας καὶ δοξασμοὺς Στωϊκῶν καὶ Ἐπικουρείων φληναφήματα. Καὶ πόθῳ φλεγόμενος ἐκμαθεῖν τὴν ἀλήθειαν Ἱεροθέῳ ἐναπέθηκας φρόνημα καὶ ἐξέμαθες παρ' αὐτοῦ πίστιν ἅπασαν. Τότε κατεπιστεύθη σοὶ Ἑλλάδος τὸ κόσμημα, ἡ Ἀθηνῶν Ἐκκλησία, ἣν θεαρέστως ἐποίμανας. Αὐτὴν οὖν καὶ σκέπε κραταιά σου προστασία ἀδιαλώβητον.

Εἰς τὸν Στίχον. Δόξα. Ἦχος Πα.




ξι ι ι ι ως και προ στας της των Α
θη νω ων Ε ε εκ κλη σι ι ι ας η να λω
σε ε ε εν ε ε ε αυ τον εις δο ο ο
ξαν Θε ε ε ου του ου τω προ σα τε ε
νι ι ζο ον τες εν τω πε ρι κει με ε ε
ε νω νε ε ε φει των μαρ τυ ρων του Κυ ρι
ου ου Ι η η σου εκ βο ω ω με ε εν και
λε ε ε γο ο ο ο μεν ι ε ρο μαρ
τυς α ξι α α α α α γα α α α στε
μη δι α λει της πρε σβε ε ευ ει ειν υ
περ η μω ω ων προς Κυ υ υ ρι ι ι ι




Καὶ νῦν... Θεοτοκίον.

Ἦχος λ π Δι



ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## Ἀπολυτίκια

### Ἦχος Δι

Χρη στο τη τα εκ δι δα χθεις και νη φων εν πα σιν α γα θην συ νει δη σιν ι ε ρο πρε πως εν δυ σα με νος ην τλη σας εκ του σκευ ους της εκ λο γης τα α πο ορ ρη τα και την πι στιν τη ρη σας τον ι σον δρο μον τε τε ε λε κας Ι ε ρο μαρ τυς Δι ο νυ σι ε Πρε σβευ ε Χρι στω τω Θε ω σω θη ναι τας ψυ χας η μων

## Ἕτερον Ἀπολυτίκιον.

## Ἦχος γ'. Θείας πίστεως.

Ἦχος Γα

Χαι ρει ε χου σα Α θη νων πο λις αν
τι λη πτο ρα και πο λι ου χον τον πρω τε
πι σκο πον αυ τη ης Δι ο ο νυ σι ι ον Αρ
χι ε ρε ων λαμ προ ον ε γκαλ λω πι σμα
και των μαρ τυ ρων σε μνο ον ε πι κο σμη η
μα Α ξι α γα στε Χρι στον τον Θε ον ι
κε τευ ε τη ρειν η μας και πο λιν σου α
πει ει ρα στον

"Ετερον ἦχος πλ. α'.
Τόν συνάναρχον λόγον

Δο ξα Πα τρι και Υι ω και α γι ω
Πνευ μα τι
Τον σο φον Ι ε ραρ χην πι στοι τι μη σω
μεν Δι ο νυ σι ον υ μνοις αυ τον γε
ραι ρον τες ως πο λι ου χον Α θη
νων και αν τι λη πτο ρα ως σο φον υ φη
γη την και σα φη ερ μη νευ την της α α νω μυ
στα γω γι ι ας και ως ευ χαις αυ του πα α
σιν η μιν δω ρουν τα το με γα ε λε ε
ος


Και νυν και α ει και εις τους αι ω
νας των αι νων α μην
Χαι ρε Πυ λη Κυ ρι ου η α δι ο δευ
τος χαι ρε τει χος και σκε πη των προ στρε χον
των εις σε χαι ρε α χει μα στε λι μην και α πει
ρο γα με η τε κου σα εν σαρ κι τον ποι η
την σου και Θε ον πρε σβευ ου σα μη ελ λει
πης υ περ των α νυ μνου ουν των και προ σκυ
νου ουν των τον το ο κο ον σου ου ου ου

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ

τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τὸν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι΄ εὐχῶν των ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

## Τόν Εὐλογοῦντα...

Τον ευ λο γου ου ουν τα και α γι ι
α ζον τα η μας Κυ ρι ε φυ λατ τε
ει ει εις πολ λα ε ε τη η η

## Τὸν Δεσπότην καί Ἀρχιερέα

Τον Δε σπο την και Αρ χι ε ε ρε
α η μων Κυ ρι ε φυ λατ τε εις πολ
λα ε τη Δε σπο τα εις πολ λα
ε τη Δε σπο τα ει ει εις πο ολ λα ε τη
Δε ε σπο τα α α

## Ἀπόλυσις.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.